UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Stoicorvm vetervm fragmenta

Chrysippi fragmenta moralia

**Arnim, Hans von**

**Lipsiae, 1903**

VII. Appendix

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2776

Visual Library

# VII. Appendix.

## Stoicorum incertae aetatis, Basilidis, Eudromi, Crinidis fragmenta.

### Basilides.

Sextus adv. math. VIII 258. ὁρῶμεν δὲ ὡς εἰσί τινες οἱ ἀνῃρηκότες τὴν ὕπαρξιν τῶν λεκτῶν, καὶ οὐχ οἱ ἑτερόδοξοι μόνον, οἷον οἱ Ἐπικούρειοι, ἀλλὰ καὶ οἱ Στωϊκοί, ὡς οἱ περὶ τὸν Βασιλείδην, οἷς ἔδοξε μηδὲν εἶναι ἀσώματον.

*In Epitoma Diogenis enumeratur inter Nestorem et Dardanum.*

### Eudromus.

**1** Diog. Laërt. VII 39. τριμερῆ φασιν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον· εἶναι γὰρ αὐτοῦ τὸ μέν τι φυσικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ λογικόν. οὕτω δὲ πρῶτος διεῖλε Ζήνων ὁ Κιτιεύς — — καὶ Εὔδρομος ἐν τῇ ἠθικῇ στοιχειώσει — — ταῦτα δὲ τὰ μέρη ὁ μὲν Ἀπολλόδωρος τόπους καλεῖ, ὁ δὲ Χρύσιππος καὶ Εὔδρομος εἴδη.

**2** Diog. Laërt. VII 40. ἄλλοι δὲ πρῶτον μὲν τὸ λογικὸν τάττουσι, δεύτερον δὲ τὸ φυσικὸν καὶ τρίτον τὸ ἠθικόν· ὧν ἐστι — καὶ Εὔδρομος.

### Crinis.

**1** Arrianus Epictet. dissert. III 2, 15. ἄπελθε νῦν καὶ ἀναγίγνωσκε Ἀρχέδημον· εἶτα μῦς ἂν καταπέσῃ καὶ ψοφήσῃ, ἀπέθανες· τοιοῦτος γάρ σε μένει θάνατος, οἷος καὶ τὸν — — τίνα ποτ' ἐκεῖνον; — τὸν Κρῖνιν· καὶ ἐκεῖνος μέγα ἐφρόνει ὅτι ἐνόει Ἀρχέδημον.

**2** Diog. Laërt. VII 62. μερισμὸς δέ ἐστι γένους εἰς τόπους κατάταξις, ὡς ὁ Κρῖνις, οἷον „τῶν ἀγαθῶν τὰ μέν ἐστι περὶ ψυχήν, τὰ δὲ περὶ σῶμα."

**3** Diog. Laërt. VII 68. Τῶν ἀξιωμάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ, ὥς φασιν οἱ περὶ Χρύσιππον — — καὶ Κρῖνιν.

---

11 φησιν B. 12 μέντοι B. 13 τὸ δὲ ἠθικὸν τὸ δὲ λογικόν add. B² in mg. 18 εὔδρομος BP. 23 κρινον S, corr. Sc. ‖ Crinis fortasse Archedemi fuit discipulus. Non video cur Zeller Gr. Ph. IV 690 n. duos fuisse Crinides iudicet. 25 κρίνεις B.

4 Diocles Magnes apud Diog. Laërt. VII 71. *παρασυνημμένον* δέ ἐστιν, ὡς ὁ *Κρίνις* φησὶν ἐν τῇ *διαλεκτικῇ τέχνῃ*, ἀξίωμα ὃ ὑπὸ τοῦ „ἐπεὶ“ συνδέσμου παρασυνῆπται, ἀρχόμενον ἀπ' ἀξιώματος καὶ λῆγον εἰς ἀξίωμα, οἷον „ἐπεὶ ἡμέρα ἐστί, φῶς ἐστίν“. ἐπαγγέλλεται δὲ ὁ σύνδεσμος ἀκολουθεῖν τε τὸ δεύτερον τῷ πρώτῳ καὶ τὸ πρῶτον ὑφεστάναι.

ibid. 74. *παρασυνημμένον* δὲ ἀληθὲς μέν ἐστιν ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει, οἷον „ἐπεὶ ἡμέρα ἐστίν, ἥλιός ἐστιν ὑπὲρ γῆς“. ψεῦδος δὲ ⟨ὃ⟩ ἢ ἀπὸ ψεύδους ἄρχεται ἢ μὴ εἰς ἀκόλουθον λήγει, οἷον „ἐπεὶ νύξ ἐστι, Δίων περιπατεῖ“ ἂν ἡμέρας οὔσης λέγηται.

5 Diocles Magnes apud Diog. Laërt. VII 76. *λόγος* δέ ἐστι, ὡς οἱ περὶ τὸν *Κρίνιν* φασί, τὸ συνεστηκὸς ἐκ λήμματος καὶ προσλήψεως καὶ ἐπιφορᾶς, οἷον ὁ τοιοῦτος „εἰ ἡμέρα ἐστί, φῶς ἐστι· ἡμέρα δέ ἐστι· φῶς ἄρα ἐστί“. *λῆμμα* μὲν γάρ ἐστι τὸ „εἰ ἡμέρα ἐστί, φῶς ἐστι“, *πρόσληψις* τὸ „ἡμέρα δέ ἐστιν“, *ἐπιφορὰ* δὲ τὸ „φῶς ἄρα ἐστί“. *τρόπος* δέ ἐστιν οἱονεὶ σχῆμα λόγου, οἷον ὁ τοιοῦτος „εἰ τὸ πρῶτον, τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον“. *λογότροπος* δέ ἐστι τὸ ἐξ ἀμφοτέρων σύνθετον, οἷον „εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον“ παρεισήχθη δὲ ὁ λογότροπος ὑπὲρ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν μακρὰν οὖσαν καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν „τὸ δὲ πρῶτον· τὸ ἄρα δεύτερον.“

---

8 ἐπεὶ] ἐὰν B. 9 ὑπὲρ γῆς om. B (spatio relicto). 10 ἐπεὶ] εἰ B. ‖ περιπατῶν B. 13 κρίνειν B. ‖ ἐκ λήμματος ἢ λημμάτων BP. 15 ἐστι om. BP (post γάρ). 16 πρόσλημψις B. 20 λογότροπος—δεύτερον add. B² in mg. 22 πρόσλημψιν B.